ἴσων ἀλλήλων ὅμοια τμήματα κύκλων ἴσα ἀλλήλοις ἐστίν· ἴσον ἄρα ἐστὶ τὸ ΒΧΓ τμῆμα τῷ ΓΟΚ τμήματι· ἔστι δὲ καὶ τὸ ΗΒΓ τρίγωνον τῷ ΗΓΚ τριγώνῳ ἴσον· καὶ ὅλος ἄρα ὁ ΒΗΓ τομεὺς ὅλῳ τῷ ΗΓΚ τομεῖ ἴσος ἐστί· διὰ τὰ αὐτὰ δὴ καὶ ὁ ΗΚΛ τομεὺς ἑκατέρῳ τῶν ΗΒΓ ΗΓΚ ἴσος ἐστίν· οἱ τρεῖς ἄρα τομεῖς οἱ ΗΒΓ ΗΓΚ ΗΚΛ ἴσοι ἀλλήλοις εἰσίν· διὰ τὰ αὐτὰ δὴ καὶ οἱ ΘΕΖ ΘΖΜ ΘΜΝ τομεῖς ἴσοι ἀλλήλοις εἰσίν· ὁσαπλασίων ἄρα ἐστὶν ἡ ΛΒ περιφέρεια τῆς ΒΓ περιφερείας, τοσαυταπλασίων ἐστὶ καὶ ὁ ΗΛΒ τομεὺς τοῦ ΗΒΓ τομέως· διὰ τὰ αὐτὰ δὴ καὶ ὁσαπλασίων ἐστὶν ἡ ΝΕ περιφέρεια τῆς ΕΖ περιφερείας, τοσαυταπλασίων ἐστὶ καὶ ὁ ΘΕΝ τομεὺς τοῦ ΘΕΖ τομέως· εἰ ἄρα ἴση ἐστὶν ἡ ΒΛ περιφέρεια τῇ ΕΝ περιφερείᾳ, ἴσος ἐστὶ καὶ ὁ ΒΗΛ τομεὺς τῷ ΕΘΝ τομεῖ· καὶ εἰ ὑπερέχει ἡ ΒΛ περιφέρεια τῆς ΕΝ περιφερείας, ὑπερέχει καὶ ὁ ΒΗΛ τομεὺς τοῦ ΕΘΝ τομέως· καὶ εἰ ἐλλείπει, ἐλλείπει· τεσσάρων δὴ ὄντων μεγεθῶν, δύο μὲν τῶν ΒΓ ΕΖ περιφερειῶν, δύο δὲ τῶν ΗΒΓ ΘΕΖ τομέων, εἴληπται ἰσάκις πολλαπλάσια τῆς μὲν ΒΓ περιφερείας καὶ τοῦ ΗΒΓ τομέως ἥ τε ΒΛ περιφέρεια καὶ ὁ ΗΒΛ τομεύς· τῆς δὲ ΕΖ περιφερείας καὶ τοῦ ΘΕΖ τομέως ἰσάκις πολλαπλάσια ἥ τε ΕΝ περιφέρεια καὶ ὁ ΘΕΝ τομεύς· καὶ δέδεικται ὅτι εἰ ὑπερέχει ἡ ΒΛ περιφέρεια τῆς ΕΝ περιφερείας, ὑπερέχει καὶ ὁ ΒΗΛ τομεὺς τοῦ ΕΘΝ τομέως· καὶ εἰ ἴση, ἴσος· καὶ εἰ ἐλλείπει, ἐλλείπει· ἔστιν ἄρα ὡς ἡ ΒΓ περιφέρεια πρὸς τὴν ΕΖ, οὕτως ὁ ΗΒΓ τομεὺς πρὸς τὸν ΘΕΖ τομέα· καὶ δῆλον ὅτι καὶ ὡς ὁ τομεὺς πρὸς τὸν τομέα, οὕτως καὶ ἡ γωνία πρὸς τὴν γωνίαν :—

διὰ ια τοῦ ε :—

ΕΥΚΛΕΙΔΟΥ ΣΤΟΙΧ ϛ

πολλαπλάσιός ἐστιν ὁ μετρούμενος ὑπὸ τοῦ ἐλάσσονος πολλάκις· καὶ λέγεται κατὰ γένος. κατ' εἴδος δέ, διπλάσιος, τριπλάσιος καὶ εἰς ἄπειρον :—

α΄ γένος :—

κατὰ γένος ἐπιμόριός ἐστιν ὁ ὑπὸ ἑτέρου μετρούμενος ἅπαξ καὶ περισσεύει τινὶ ὅπερ τι ἓν μετρεῖ τὸν μετρήσαντα· οἷον ὁ θ΄ καὶ ὁ ιβ΄· μετρεῖ ὁ θ΄ τὸν ιβ΄ καὶ περισσεύει γ΄, καὶ ὁ γ΄ μετρεῖ τὸν θ΄. κατ' εἴδος δέ, ἐπίτριτος, ἐπιτέταρτος, ἐπιέβδομος καὶ εἰς ἄπειρον·

β΄

κατὰ γένος ἐπιμερὴς δέ· ὁ μετρούμενος ὑπὸ ἑτέρου ἅπαξ καὶ περισσεύει τι ὅπερ οὐ μετρεῖ τὸν μετρήσαντα· οἷον ὁ θ΄ καὶ ὁ ια΄. κατ' εἴδος δέ, ἐπιδιμοιρος ἢ ἐπιτριμοιρος· καὶ ἔτι κατ' εἴδος, ἐπιδισεννατος καὶ ἐπιτρισεννατος :—

γ΄

ἐὰν τρεῖς ἀριθμοὶ ἀνάλογον ὦσιν, ἡ πρώτη πρὸς τὴν γ΄ διπλασίονα λόγον ἔχειν λέγεται ἤπερ πρὸς τὴν β΄· τουτέστιν ἐὰν ἔχῃ ἡ α΄ πρὸς τὴν β΄ λόγον τριπλασίονα, ἡ α΄ πρὸς τὴν γ΄ λόγον ἕξει διὰ τὸ τριπλασίονα· τουτέστιν ἐννεαπλάσιον· τρὶς γὰρ τὰ τρία θ΄· τοῦτο γάρ ἐστι καὶ τὸ λεγόμενον ἐν τῷ ὅρῳ τοῦ ε΄ βιβλίου.